# *ΠΕΡΙΚΕΙΡΟΜΕΝΗ*

*(ΑΓΝΟΙΑ)*

. . . . . .

]προθυμηθεῖϲα θῆλυ, τὸ δ᾽ ἕτερον
γυναικὶ] δοῦναι πλουϲίαι τὴν οἰκίαν
ταύτην] κατοικούϲηι, δεομένηι παιδίου.
γέγον]ε δὲ τα[ῦτ᾽. ἐγγενο]μένων δ᾽ ἐτῶν τινων
καὶ τ]οῦ πολέμου καὶ τῶν Κορινθιακῶν κακῶν
αὐξανομένων ἡ γραῦϲ ἀπορουμένη ϲφόδρα,
τεθραμμένηϲ τῆϲ παιδόϲ, ἣν νῦν εἴδετε
ὑμεῖϲ, ἐραϲτοῦ γενομένου τε τοῦ ϲφοδροῦ
τούτου νεανίϲκου γένει Κορινθίου
ὄντοϲ, δίδωϲι τὴν κόρην ὡϲ θυγατέρα
αὐτῆϲ ἔχειν· ἤδη δ᾽ ἀπειρηκυῖα καὶ
προορωμένη τοῦ ζῆν καταϲτροφήν τινα
αὐτῆι παροῦϲαν οὐκ ἔκρυψε τὴν τύχην,
λέγει δὲ πρὸϲ τὴν μείραχ᾽ ὡϲ ἀνείλετο
αὐτήν, ἐν οἷϲ τε ϲπαργάνοιϲ δίδωϲ᾽ ἅμα,
τὸν ἀγνοούμενόν τ᾽ ἀδελφὸν τῆι φύϲει
φράζει, προνοουμένη τι τῶν ἀνθρωπίνων,
εἴ ποτε δεηθείη βοηθείαϲ τινόϲ,
ὁρῶϲα τοῦτον ὄντ᾽ ἀναγκαῖον μόνον
αὐτῆι, φυλακήν τε λαμβάνουϲα μή ποτε
δι᾽ ἐμέ τι τὴν Ἄγνοιαν αὐτοῖϲ ϲυμπέϲηι
ἀκούϲιον, πλουτοῦντα καὶ μεθύοντ᾽ ἀεὶ
ὁρῶϲ᾽ ἐκεῖνον, εὐπρεπῆ δὲ καὶ νέαν
ταύτην, βέβαιον δ᾽ οὐθὲν ὧι κατελείπετο.
αὕτη μὲν οὖν ἀπέθανεν, ὁ δὲ τὴν οἰκίαν



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41693384X/207 UNIVERSITÄT LEIPZIG